### Κλητική.

§. τπθ΄. Ἡ Κλητικὴ, ὦ Αἶαν κοινῶς, καὶ ὦ Αἴας Ἀττικῶς. εὕρηνται δὲ παρὰ Ποιηταῖς καὶ Κλητικαὶ εἰς α, τῶν εἰς ας ὑπερδισυλλάβων, παρὰ τὸ δάμνω συντεθειμένων. οἷον, ὁ λαοδάμας, ὦ λαοδάμα. ὁ πολυδάμας, ὦ πολυδάμα.

### Δοτικὴ Πληθυντική.

§. τϙ΄. Ἡ Δοτικὴ, τοῖς Αἴασι καὶ Ἰωνικῶς Αἰάντεσσιν. οὗτοι γὰρ ἀπὸ τῆς Ἑνικῆς Γενικῆς τροπῇ τοῦ ο εἰς ε, καὶ προσθέσει τοῦ σι, σχηματίζουσι τὴν Δοτικὴν Πληθυντικήν. οἷον, Αἴαντος, Αἰάντεσσι. γίγαντος, γιγάντεσσιν. ἥρωος, ἡρώεσσι. τρυγόνος, τρυγόνεσσι. βήματος, βημάτεσσιν. ἔπεος, ἐπέεσιν. ἀληθέος, ἀληθέεσιν. εἰμὴ τὸ ἓν σ, ἐκβληθείη διὰ τὸ μέτρον.

### Αἰτιατικὴ Πληθυντική.

§. τϙά. Ἡ Αἰτιατικὴ, τοὺς Αἴαντας. τῶν γεμὴν συγκριτικῶν αἵτε πληθυντικαὶ εὐθεῖαι, καὶ Αἰτιατικαὶ, καὶ εἰς ους κατὰ κρᾶσιν γίνονται ἔθει Ἀττικῷ. οἷον, οἱ μείζονες, καὶ μείζους. τῶν δέτοι οὐδετέρων, εἰς ω. οἷον, τὰ μείζονα, καὶ μείζω.

### Περὶ τῆς Πρώτης Κλίσεως τῶν Συνηρημένων.

§. τϙβ΄. Ἡ ὀνομαστικὴ, ὁ Δημοσθένης. ἡ Γενικὴ, τοῦ Δημοσθένεος Ἰωνικῶς, καὶ Δημοσθένους κοινῶς, καὶ Ἀττικῶς, καὶ Δημοσθένου Αἰολικῶς. ἡ Δοτικὴ, τῷ Δημοσθένεϊ, καὶ Δημοσθένει. ἡ Αἰτιατικὴ, τὸν Δημοσθένεα, καὶ Δημοσθένη. Οἱ γεμὴν Ἀττικοὶ ἐπὶ τῶν